ἐξ ἀνάγκης, ἐξ οὐκ ὄντων ἔχειν αὐτὸν τὴν ὑπόστασιν:

αὐτου τῶν καινο· προ ἐπη λόγω σιλ

λογήσας, ἀνερρίπιζε τοῖς πολλοῖς πρὸς τὸ ζήτημα· καὶ ἀνάπτεται ἐκ μι
κροῦ σπινθῆρος, μέγα πῦρ· ἀρξάμενον γάρ τε τὸ κακὸν ἀπὸ τῆς Ἀλεξανδρέ
ων ἐκκλησίας, διέτρεχε τὴν σύμπασαν Αἴγυπτόν τε καὶ Λιβύην καὶ τὴν ἄνω
Θηβαΐδα· ἤδη δὲ καὶ τὰς λοιπὰς ἐπενέμετο ἐπαρχίας τε καὶ πόλεις· συνε
λαμβάνοντο τῇ Ἀρείου δόξῃ, πολλοὶ μὲν καὶ ἄλλοι· μάλιστα δὲ καὶ Εὐσέβιος
αὐτῆς ἀντείχετο· οὐχ ὁ Καισαρεύς, ἀλλ' ὁ πρότερον μὲν τῆς Βηρυτοῦ ἐκκλησίας
ἐπίσκοπος· τότε δὲ τῆς ἐν Βιθυνίᾳ Νικομηδείας τὴν ἐπισκοπὴν ὑποδύς·
ταῦτα ἀκούων καὶ ὁρῶν τε ὁ Ἀλέξανδρος, πρὸς ὀργὴν ἐξάπτεται· καὶ
συνέδριον πολλῶν ἐπισκόπων καθίσας, τὸν μὲν Ἄρειον καὶ τοὺς ἀποδεχο
μένους τὴν δόξαν αὐτοῦ καθαιρεῖ· γράφει δὲ τοῖς κατὰ πόλιν τοιάδε·
Τοῖς ἀγαπητοῖς καὶ τιμιωτάτοις συλλειτουργοῖς τοῖς ἁπανταχοῦ τῆς καθο
λικῆς ἐκκλησίας, Ἀλέξανδρος ἐν Κυρίῳ χαίρειν· ἑνὸς σώματος ὄντος τῆς
καθολικῆς ἐκκλησίας, ἐντολῆς τε οὔσης ἐν ταῖς θείαις γραφαῖς τηρεῖν τὸν
σύνδεσμον τῆς ὁμονοίας καὶ εἰρήνης, ἀκόλουθόν ἐστι γράφειν ἡμᾶς καὶ σημαίνειν
ἀλλήλοις τὰ παρ' ἑκάστοις γινόμενα· ἵνα εἴτε πάσχει εἴτε χαίρει ἓν μέλος,
ἢ συμπάσχωμεν ἢ συγχαίρωμεν ἀλλήλοις· ἐν τῇ ἡμετέρᾳ τοίνυν παροι
κίᾳ, ἐξῆλθον νῦν ἄνδρες παράνομοι καὶ χριστομάχοι, διδάσκοντες ἀπο
στασίαν· ἣν εἰκότως ἄν τις, πρόδρομον τοῦ Ἀντιχρίστου νομίσειε καὶ καλέσειε·
καὶ ἐβουλόμην μὲν σιωπῇ παραδοῦναι τὸ τοιοῦτον· ἵν' ἴσως ἐν τοῖς ἀπο
στάταις μόνοις ἀναλωθῇ τὸ κακόν· καὶ μὴ εἰς ἑτέρους τόπους διαβὰν
ῥυπώσῃ τινῶν ἀκεραίων τὰς ἀκοάς· ἐπειδὴ δὲ Εὐσέβιος ὁ νῦν ἐν τῇ Νι
κομηδείᾳ νομίσας ἐπ' αὐτῷ κεῖσθαι τὰ τῆς ἐκκλησίας, ὅτι καταλείψας
τὴν Βηρυτὸν καὶ ἐποφθαλμίσας τῇ ἐκκλησίᾳ Νικομηδέων, οὐκ ἐκδεδίκηται
κατ' αὐτοῦ, προΐσταται καὶ τούτων τῶν ἀποστατῶν, καὶ γράφειν ἐπεχείρησε πανταχοῦ
συνιστῶν αὐτούς· ἵν' ὡς ὑποσύρει τινὰς ἀγνοοῦντας εἰς τὴν ἐσχάτην ταύτην καὶ
χριστομάχον αἵρεσιν· ἀναγκαίαν ἔσχον εἰδὼς τὸ ἐν τῷ νόμῳ γεγραμμένον, μη
κέτι μὲν σιωπῆσαι, ἀναγγεῖλαι δὲ πᾶσιν ὑμῖν· ἵνα γινώσκητε τούς τε
ἀποστάτας γενομένους, καὶ τὰ τῆς αἱρέσεως αὐτῶν δύστηνα ῥήματα·
καὶ ἐὰν γράφῃ Εὐσέβιος, μὴ προσέχητε· τὴν παλαιὰν γὰρ αὐτοῦ κακόνοιαν
τὴν χρόνῳ σιωπηθεῖσαν, νῦν διὰ τούτων ἀνανεώσασθαι βουλόμενος, σχηματί
ζεται μὲν ὡς ὑπὲρ τούτων γράφων, ἔργῳ δὲ δείκνυσιν ὡς ὅτι ὑπὲρ ἑαυτοῦ σπου